δαλοῦ; πόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.
ΟΔ. δεῖ γοῦν· μέγας γὰρ δαλός, ὃν ξυλληπτέον.
ΧΟ. ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀροίμην βάρος,
εἰ τοῦ Κύκλωπος τοῦ κακῶς ὀλουμένου
ὀφθαλμὸν ὥσπερ σφηκιὰν ἐκθύψομεν.
ΟΔ. σιγᾶτε νῦν· δόλον γὰρ ἐξεπίστασαι·
χὤταν κελεύω, τοῖσιν ἀρχιτέκτοσι
πείθεσθ᾽· ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους
τοὺς ἔνδον ὄντας οὐ μόνος σωθήσομαι.
καίτοι φύγοιμ᾽ ἄν, κἀκβέβηκ᾽ ἄντρου μυχῶν·
ἀλλ᾽ οὐ δίκαιον ἀπολιπόντ᾽ ἐμοὺς φίλους,
ξὺν οἷσπερ ἦλθον δεῦρο, σωθῆναι μόνον.
ΧΟ. ἄγε, τίς πρῶτος, τίς δ᾽ ἐπὶ πρώτῳ
ταχθεὶς δαλοῦ κώπην ὀχμάσας
Κύκλωπος ἔσω βλεφάρων ὤσας
λαμπρὰν ὄψιν διακναίσει;
(ᾠδὴ ἔνδοθεν)
σίγα σίγα. καὶ δὴ μεθύων
ἄχαριν κέλαδον μουσιζόμενος
σκαιὸς ἀπῳδὸς καὶ κλαυσόμενος
χωρεῖ πετρίνων ἔξω μελάθρων.
φέρε νιν κώμοις παιδεύσωμεν
τὸν ἀπαίδευτον·
πάντως μέλλει τυφλὸς εἶναι.
μάκαρ ὅστις εὐιάζει str.
βοτρύων φίλαισι πηγαῖς
ἐπὶ κῶμον ἐκπετασθείς,
φίλον ἄνδρ᾽ ὑπαγκαλίζων
ἐπὶ δεμνίοις τε ξανθὸν
χλιδανῆς ἔχων ἑταίρας
μυρόχριστος λιπαρὸς βό-

---

471. *πόνου*] Nauckius, *φόνου* libri. 475. *ἐκθύψομεν*] Hertleinius, *ἐκτρίψομεν B ἐκθρίψομεν C* 484. *δαλοῦ*] Stephanus, *δαλῷ* libri. 491. *χωρεῖ*] corrector Florentinus, *χωρεῖ γε* libri. 495. *μάκαρ ὅστις εὐιάζει*] Hermannus, *μακάριος ὅστις σεβιάζει B μακάριος ὃς εὐιάζει C* 498. *ὑπαγκαλίους B ὑπαγκαλίζων C*